πρῆξις πέλεται κρυεροῖο γόοιο. καὶ Αἰσχύλος· μόνος θεῶν γε θάνατος
οὐ δώρων ἐρᾷ. οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

Σ 15 Πάγον εὐτείχη: ἐν ὄρει τετειχισμένην.

Σ 16 Πάγοι: αἱ ἐξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρῶν. αὔλια καὶ Νυμ-
Anth. φῶν ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ πίδακες ἥ θ' ὕδασι γειτονέουσα
πίτυς.

Δ 17 Παγχενῖτις: ὄνομα χώρας.

Δ 18 Πάγχυ: παντελῶς.

Δ + x 19 Πάδος: ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζο-
μένου.

Soph. + E 20 Πάθας: πάθη, ξυμφοράς. ὁ δὲ ἐπῆγε τήν τε ἀποστέρησιν τῶν
χρημάτων καὶ τὴν καταδίκην καὶ μέντοι καὶ τὰς προτέρας αὐτοῦ τὰς
Δ ἀδίκους πάθας. Πάθας θηλυκῶς. Σοφοκλῆς· καὶ τὰς μὲν
Soph. ἔνδον οὐκ ἔχω λέγειν πάθας.

Soph. 21 Πάθαι: αἱ συμφοραί. Οἰδίπους· στέργειν γὰρ αἱ πάθαι με χὠ
χρόνος ξυνὼν μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον. στέργειν τὰ
δυστυχήματα ὁ πολὺς ἐποίησε χρόνος καὶ τὸ τῶν συμφορῶν πλῆθος
καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα.

Δ 22 Πάθη: ἡ κάκωσις. ἀκόλουθον σφίσι πάθην ἐπηρτημένην ὁρῶντα,
E ἣν λαθεῖν ἀδύνατον. καὶ αὖθις· καὶ ἄλλας μυρίας εἴποιμι ἂν δίκης
ἀμελουμένης ἀκόλουθα πάθας.

Δ 23 Πάθη: θηλυκῶς τὸ πάθος. οἷαι γὰρ αἱ πάθαι τῆς ψυχῆς κατὰ
τὴν θέαν, τοιαύτας καὶ τὰς ἀποβάσεις εἶναι ἀνάγκη.

Phil. 24 Πάθη δύο: πόνος καὶ ἡδονή. καὶ ἡ μὲν ἡδονὴ λεία κίνησις, ὁ
δὲ πόνος τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ εὐδοκητὴ πᾶσι ζῴοις, ὁ
δὲ πόνος ἀποκρουστικός.

Δ 25 Παθηζίτης: ὄνομα κύριον.

26 Πάθος λέξεως· ὁμωνυμία, ὡς κύων. μεταφορά· ὡς τιθηνὸς ἡ
γῆ. κατάχρησις ἐντεῦθεν καὶ ἡ ἀσάφεια.